## Ο ΑΝΘΡΩΠΟΣ



ἐστί(ν) / εἰσί(ν)

**Α** - Ὁ Διόνυσος θεός ἐστιν. Καὶ ὁ Κρόνος θεός ἐστιν. Ὁ Διόνυσος καὶ ὁ Κρόνος δύο θεοί εἰσιν.

- Ἆρα καὶ ὁ Οὐρανὸς θεός ἐστιν;

- Ἔστι γὰρ οὖν. Ὁ Οὐρανός, ὁ Κρόνος καὶ ὁ Διόνυσος τρεῖς θεοί εἰσιν.

- Ἆρα καὶ ὁ Ἀλέξανδρος θεός ἐστιν;

- Οὐ γὰρ οὖν. Ὁ Ἀλέξανδρος οὐ θεός, ἀλλ᾽ ἄνθρωπός ἐστιν. Ὁ γὰρ Ἀλέξανδρος στρατηγός ἐστιν.

- Ἆρα καὶ ὁ Ὅμηρος ἄνθρωπός ἐστιν;

- Ναί, καὶ ὁ Ὅμηρος ἄνθρωπός ἐστιν. Ὁ Ὅμηρος καὶ ὁ Ἀλέξανδρος δύο ἄνθρωποί εἰσιν.

- Ἔστι καὶ ὁ Ὅμηρος στρατηγός;

- Οὐδαμῶς, ὁ Ὅμηρος οὐ στρατηγός, ἀλλὰ ῥαψῳδός ἐστιν.

ἔστι γὰρ οὖν = ναί



οὐ γὰρ οὖν = οὐδαμῶς



| 1 | δύο, τρεῖς |
|---|---|
| θεός | θεοί |
| θεά | θεαί |
| ἄνθρωπος | ἄνθρωποι |




ὁ Οὐρανός ὁ Κρόνος ὁ Διόνυσος ὁ Ἀλέξανδρος ὁ Ὅμηρος



creative commons BY NC SA

Texto y actividades: Santi Carbonell
Dibujos: Sito Yelás



ἡ Ἀφροδίτη ἡ Ἀθηνᾶ ἡ Ἄρτεμις ἡ Ἀσπασία ἡ Πηνελόπη

- Ἡ Ἀθηνᾶ θεά ἐστιν. Καὶ ἡ Ἀφροδίτη θεά ἐστιν. Ἡ Ἀθηνᾶ καὶ ἡ Ἀφροδίτη δύο θεαί εἰσιν.

- Ἆρα καὶ ἡ Ἄρτεμις θεά ἐστιν;

- Ἔστι γὰρ οὖν. Ἡ Ἀθηνᾶ, ἡ Ἀφροδίτη καὶ ἡ Ἄρτεμις τρεῖς θεαί εἰσιν.

- Ἆρα καὶ ἡ Ἀσπασία θεά ἐστιν;

- Οὐ γὰρ οὖν. Ἡ Ἀσπασία οὐ θεά, ἀλλ᾽ ἄνθρωπός ἐστιν.

- Ἆρα καὶ ἡ Πηνελόπη ἄνθρωπός ἐστιν;

- Ναί, καὶ ἡ Ἀσπασία ἄνθρωπός ἐστιν.

- Ἔστι καὶ ἡ Ἀσπασία στρατηγός;

- Οὐδαμῶς!

- Διὰ τί ἡ Ἀσπασία στρατηγὸς οὐκ ἐστίν;

- Διότι ἀνήρ οὐκ ἐστίν, ἀλλὰ γυνή.

- Ἆρα καὶ ἡ Πηνελόπη γυνή ἐστιν;

- Ναί, ἡ μὲν Ἀσπασία καὶ ἡ Πηνελόπη δύο γυναῖκές εἰσιν. Ὁ δὲ ᾽Αλέξανδρος καὶ ὁ Ὅμηρος δύο ἄνδρες εἰσίν.

**B** - Ὁ Ὅμηρος θνητός ἐστιν. Θεὸς γὰρ οὐκ ἐστίν, ἀλλ᾽ ἄνθρωπος. Καὶ ὁ Ἀλέξανδρος ἄνθρωπος θνητός ἐστιν. Ὁ οὖν Ὅμηρος καὶ ὁ Ἀλέξανδρος θνητοί εἰσιν. Θεοὶ γὰρ οὐκ εἰσίν, ἀλλ᾽ ἄνθρωποι.

- Ἆρα καὶ ἡ Ἀσπασία θνητή ἐστιν;

- Ἔστι γὰρ οὖν. Ἡ γὰρ Ἀσπασία θεὰ οὐκ ἐστίν, ἀλλὰ γυνή. Καὶ ἡ Πηνελόπη θνητή ἐστιν. Ἡ οὖν Ἀσπασία καὶ ἡ Πηνελόπη θνηταί εἰσιν.

- Ἆρα καὶ ὁ Κρόνος θνητός ἐστιν;

**ὁ** ἀνήρ **ἡ** γυνή



**οἱ** ἄνδρες **αἱ** γυναῖκες

— Διὰ τί ;
— Διότι…

(μέν) … δέ

θνητός ↔ ἀθάνατος



Texto y actividades: Santi Carbonell
Dibujos: Sito Yelás

- Οὐδαμῶς! Θεός γὰρ ἐστιν καὶ ἀθάνατος.
- Ἆρα καὶ ὁ Διόνυσος ἀθάνατός ἐστιν;
- Ναί, καὶ ὁ Διόνυσος ἀθάνατος θεός ἐστιν. Ὁ οὖν Διόνυσος καὶ ὁ Κρόνος ἀθάνατοί εἰσιν, διότι ἄνθρωποι οὐκ εἰσίν, ἀλλὰ θεοί.
- Ἆρα καὶ ἡ Ἀθηνᾶ ἀθάνατός ἐστιν;
- Ναί, ἡ Ἀθηνᾶ ἀθάνατός ἐστιν. Καὶ ἡ Ἀφροδίτη ἀθάνατός ἐστιν. Οἱ μὲν οὖν ἄνθρωποι θνητοί εἰσιν. Οἱ δὲ θεοί ἀθάνατοι.




**Γ**

- Καὶ τὰ ζῷα θνητά ἐστιν.
- Τί ἐστι τὰ ζῷα;
- Ὁ κύκνος ζῷόν ἐστιν.
- Ἆρα καὶ ο λύκος ζῷόν ἐστιν;
- Ἔστι γὰρ οὖν. Ὁ οὖν κύκνος καὶ ὁ λύκος δύο ζῷά ἐστιν. Τὰ ζῷα οὐκ ὀλίγα, ἀλλὰ πολλά ἐστιν, τὰ μὲν μικρά, τὰ δὲ μεγάλα. Ἡ μυῖα καὶ ὁ καρκίνος μικρὰ ζῷά ἐστιν. Ἡ δὲ φάλαινα καὶ ὁ κροκόδειλος μεγάλα. Καὶ τὰ μὲν ζῷα ἤρεμά ἐστιν, ὥσπερ ὄνος καὶ βοῦς, τὰ δὲ ἄγρια, ὥσπερ λέων καὶ λύκος.

Τὰ μὲν ζῷά θαλάσσιά ἐστιν, ὥσπερ δελφίς, καρχαρίας καὶ φάλαινα. Τὰ δὲ πτηνά, ὥσπερ μυῖα, κύκνος καὶ ἄλλαι ὄρνιθες, καὶ τὰ δὲ πεζά, ὥσπερ ἄνθρωπος, ἵππος, λύκος, κροκόδειλος, κτλ.

- Ἆρα καὶ ὁ ἄνθρωπος ζῷόν ἐστιν;
- Ναί, ὁ ἄνθρωπος πολιτικὸν ζῷόν ἐστιν, ὥσπερ λέγει ὁ Ἀριστοτέλης.
- Ἔστι δὲ ὁ ἄνθρωπος ἤρεμον ζῷον ἢ ἄγριον; Οἱ μὲν ἄνθρωποι ἤρεμοί εἰσιν, οἱ δὲ ἄγριοι.

τὸ ζῷον ἐστίν
τὰ ζῷα ἐστίν

ὀλίγα ↔ πολλά
μικρά ↔ μεγάλα

ὥσπερ ≈

ἤρεμος ↔ ἄγριος

κ(αὶ) τ(ὰ) λ(οιπά)



creative commons BY NC SA
Texto y actividades: Santi Carbonell
Dibujos: Sito Yelás




- Τί δ᾽ἐστιν ὁ Χείρων;
- Ὁ Χείρων οὔτε ζῷον οὔτε ἄνθρωπός ἐστιν, ἀλλὰ θηρίον.
- Τί δ᾽ ἐστι θηρίον;
- Τὰ θηρία μυθολογικὰ ζῷά ἐστιν, ὥσπερ ὁ κένταυρος Χείρων, τὸ μὲν ἥμισυ ἄνθρωπος, τὸ δ᾽ ἥμισυ ἵππος.

| οὔτε ... οὔτε |
|---|

- Ἔστι δὲ καὶ ἄλλα μυθολογικὰ ζῷα;
- Ἔστι γὰρ οὖν. Τὰ ἑλληνικὰ μυθολογικὰ ζῷα πολλά ἐστιν, τὰ μὲν ἤρεμα, τὰ δὲ ἄγρια, τὰ μέν καλὰ καὶ τὰ δὲ κακά. Ὁ Χείρων καὶ ὁ Πήγασος ἤρεμα καὶ καλὰ θηρία ἐστίν.

| |
|---|
| τὸ ἥμισυ· 1/2 |
| ἀλλά ≠ ἄλλα |
| καλός ↔ κακός |

- Ἆρα καὶ ὁ Μινώταυρος θηρίον ἐστίν;
- Ναί, καὶ ὁ Μινώταυρος θηρίον ἐστίν, τὸ μὲν ἥμισυ ἄνθρωπος, τὸ δ᾽ἥμισυ ταῦρος. Ὁ δὲ Μινώταυρος οὐκ ἤρεμον, ἀλλ᾽ ἄγριον θηρίον ἐστίν. Ἔστι δὲ καὶ ἄλλα ἄγρια καὶ κακὰ θηρία, ὥσπερ ἡ Μέδουσα, ὁ Κέρβερος, ἡ Ὕδρα καὶ αἱ Ἅρπυιαι.

## Γραμματική

ΓΕΝΟΣ

Γένος ἀρσενικόν· *Ὅμηρ**ος**, ἄνθρωπ**ος**, ἀν**ήρ**, θνητ**ός***.
Γένος θηλυκόν· *Ἀσπασ**ία**, Πηνελόπ**η**, γυν**ή**, θνητ**ή***.
Γένος οὐδέτερον· *θηρί**ον**, ζῷ**ον**, θνητ**όν***.


creative commons BY NC SA
Texto y actividades: Santi Carbonell
Dibujos: Sito Yelás

## ΑΡΙΘΜΟΣ

Ἑνικὸς ἀριθμός· *ἄνθρωπος, θεά, ζῷον.*

Πληθυντικὸς ἀριθμός· *ἄνθρωπ**οι**, θε**αί**, ζῷ**α**.*

## ΑΡΘΡΟΝ

Ἑνικός ἀριθμός· *ὁ* (γένος ἀρσενικόν),
*ἡ* (γένος θηλυκόν),
*τὸ* (γένος οὐδέτερον).

Πληθυντικός ἀριθμός· *οἱ* (γένος ἀρσενικόν),
*αἱ* (γένος θηλυκόν),
*τά* (γένος οὐδέτερον).

## ΡΗΜΑ

*ἐστίν, λέγει* (ἑνικὸς ἀριθμός),
*εἰσίν* (πληθυντικὸς ἀριθμός)

## ΕΠΙΘΕΤΑ

*θνητός, θνητή, θνητόν* (γένος ἀρσενικόν, θηλυκὸν καὶ οὐδέτερον).

*ἀθάνατος, ἀθάνατον* (γένος ἀρσενικόν / θηλυκόν καὶ οὐδέτερον)

Παραδείγματα·

Γένος ἀρσενικόν

ἑνικὸς ἀριθ. *Ὁ θεὸς καλὸς καὶ ἀθάνατός ἐστιν*
πληθ. ἀριθ. *Οἱ θεοὶ καλοὶ καὶ ἀθάνατοί εἰσιν*

Γένος θηλυκόν

ἑνικὸς ἀριθ. *Ἡ θεὰ καλὴ καὶ ἀθάνατός ἐστιν*
πληθ. ἀριθ. *Αἱ θεαὶ καλαὶ καὶ ἀθάνατοί εἰσιν*

Γένος οὐδέτερον

ἑνικὸς ἀριθ. *Τὸ ζῷον καλὸν καὶ θνητόν ἐστιν*
πληθ. ἀριθ. *Τὰ ζῷα καλὰ καὶ θνητά ἐστιν*



creative commons BY NC SA

Texto y actividades: Santi Carbonell
Dibujos: Sito Yelás

## Ἄσκησις Α

Τί γένος ἐστίν;

| | |
|---|---|
| 1. ἡ λύρα | 6. ὁ φιλόσοφος |
| 2. ἡ ἁρμονία | 7. ὁ χρόνος |
| 3. τὸ θέατρον | 8. τὸ σῶμα |
| 4. ἡ Ἀφροδίτη | 9. ἡ μέθοδος |
| 5. ὁ πλανήτης | 10. ὁ Χείρων |

## Ἄσκησις Β

Τίς ἀριθμός ἐστιν ;

| | |
|---|---|
| 1. οἱ ἄνθρωποι | 6. ἡ λύρα |
| 2. ὁ φιλόσοφος | 7. τὰ βιβλία |
| 3. ἡ ἁρμονία | 8. αἱ θεαί |
| 4. τὸ ἄστρον | 9. τὰ σώματα |
| 5. οἱ πλανῆται | 10. Αἱ Ἀθῆναι |

## Ἄσκησις Γ

Τί ἄρθρον ;

| | |
|---|---|
| 1. __ ἀνήρ | 11. __ θεοί |
| 2. __ γυνή | 12. __ κύκνος |
| 3. __ θέατρον | 13. __ φάλαινα |
| 4. __ ἄνθρωποι | 14. __ φιλόσοφος |
| 5. __ λύρα | 15. __ Μινώταυρος |
| 6. __ στρατηγός | 16. __ ἄστρα |
| 7. __ Διόνυσος | 17. __ ἁρμονία |
| 8. __ Ἀφροδίτη | 18. __ θεαί |
| 9. __ Τροία | 19. __ χρόνος |
| 10. __ εὐαγγέλιον | 20. __ φάρμακον |



creative commons BY NC SA

Texto y actividades: Santi Carbonell
Dibujos: Sito Yelás

**Ἄσκησις Δ**
Τί ῥῆμα ;

*ἐστιν / εἰσίν*

1. ὁ Ζεὺς θεός ________
2. ὁ Ζεὺς ἄνθρωπος οὐκ ________
3. ὁ Ζεὺς καὶ ὁ Διόνυσος δύο θεοί ________
4. Ἡ Ἀθηνᾶ θεά ________
5. Ἡ Ἀθηνᾶ καὶ ὁ Διόνυσος δύο θεοί _________
6. Ἡ φάλαινα ζῷόν ________
7. Οἱ θεοὶ καλοὶ καὶ ἀθάνατοί ________
8. Αἱ θεαὶ καλαὶ καὶ ἀθάνατοί ________
9. Τὰ ζῷα οὐκ ὀλίγα, ἀλλὰ πολλά ________
10. Τὰ θηρία μυθολογικὰ ζῷά ________

**Ἄσκησις Ε**
Τί ἐπίθετον ;

*καλός, καλή, καλόν*
*θνητός, θνητή, θνητόν*
*ἀθάνατος, ἀθάνατον*

1. Οἱ θεοὶ κ________ καὶ ἀ_____________ εἰσιν.
2. Αἱ θεαὶ κ________ καὶ ἀ_____________ εἰσίν.
3. Ὁ θεὸς κ________ καὶ ἀ_____________ ἐστιν
4. Ἡ θεὰ κ________ καὶ ἀ_____________ ἐστιν
5. Τὸ ζῷον κ________ καὶ θ_________ ἐστιν
6. Τὰ ζῷα κ_________ καὶ θ_________ ἐστιν
7. Ὁ Διόνυσος οὐ θ_______, ἀλλ᾽ ἀ___________ ἐστιν
8. Οἱ ἄνδρες καὶ αἱ γυναῖκες θ________ εἰσιν
9. Ὁ Χείρων καὶ ὁ Πήγασος κ__________θηρία ἐστίν



creative commons BY NC SA
Texto y actividades: Santi Carbonell
Dibujos: Sito Yelás

**Ἄσκησις Ζ**

Ὁ Ὅμηρος ἀν______ ἐσ_____. Καὶ ὁ Ἀλέξανδρος ἀν_____ ἐσ_____. Ὁ Ὅμηρος καὶ ὁ Ἀλέξανδρος δύο ἄνδ_____ εἰσίν. Ὁ Ὅμηρος οὐκ ἀθάνατ____ , ἀλλὰ θνητ_____ ἐσ_____. Ὁ γὰρ Ὅμηρος ἄνθρωπ______ ἐστιν. Καὶ ὁ Ἀλέξανδρος θνητ_____ ἐσ_____, διότι ἄνθρωπ____ ἐστιν. Ὁ οὖν Ὅμηρος καὶ ὁ Ἀλέξανδρος οὐκ ἀθάνατ_____, ἀλλὰ θνητ_____ εἰ_____. Ἄνθρωπ_____ γὰρ εἰσίν. Ὁ δὲ Διόνυσος οὐκ
ἄνθρωπ_____, ἀλλὰ θε_____ ἐ_____. Καὶ ὁ Χρόνος θε____ ἐσ____. Ὁ Διόνυσος καὶ ὁ Κρόνος δύο θε____ εἰ_____.
*ἄνθρωπος*, *ἀν*_____ , *ἀθάνατ*____ ἑνικὸς ἀριθμός ἐσ____. *ἄνθρωπ*_____, *ἄνδρ*_____, *ἀθάνατ*______ πληθυντικὸς ἀριθμός ἐστιν.

Ἡ Ἀσπασία οὐκ ἀν______, ἀλλά γυν____ ἐσ____. Ἡ Ἀσπασία θνητ____ ἐσ____ . Καὶ ἡ Πηνελόπη οὐκ ἀθάνατ____ ἐσ____ , ἀλλὰ θνητ____ γυν___. Ἡ Ἀσπασία καὶ ἡ Πηνελόπη δύο γυναῖκ____ εἰσιν. Καὶ οἱ δύο οὐκ ἀθάνατ____ εἰ____ , ἀλλὰ θνητ____. Ἡ δὲ Ἀφροδίτη οὐ γυν___, ἀλλὰ θε____ ἐστιν. Καὶ ἡ Ἀθηνᾶ θε___ ἐστιν. Ἡ οὖν Ἀφροδίτη καὶ ἡ Ἀθηνᾶ δύο θε___ εἰσίν.
*γυν*___, *θε*___, *θνητ*___, *ἀθάνατ*____ καὶ *ἑλληνικ*____ θηλυκὸν γένος ἐστιν. Καὶ *γυναῖκ*____, *θε*___, *ἑλληνικ*____, *θνητ*___, *ἀθάνατ*____ θηλυκὸν γένος ἐστιν, ἀλλὰ πληθυντικὸς ἀριθμός.

Ὁ λύκος ζῷ____ ἐστιν. Καὶ ἡ μυῖα ζῷ____ ἐστιν. Τὰ ζῷ____ οὐκ ὀλίγ___, ἀλλὰ πολλ___ ἐστιν, τὰ μὲν ἥρεμ___, τὰ δὲ ἄγρι____. Ὁ Μινώταυρος οὐ ζῷ___, ἀλλὰ θηρί____ ἐστίν. Καὶ ὁ Πήγασος θηρί____ ἐστίν. Ὁ μὲν Μινώταυρος ἄγρι___ θηρί____ ἐστίν, ὁ δὲ Πήγασος ἥρεμ___ .
*ζῷ*____, *θηρί*____, *μικρ*____, *ἄγρι*____ καὶ *ἥρεμ*___ οὐδέτερον γένος ἐστίν. Καὶ *ζῷ*____, *θηρί*____, *μικρ*____, *ἄγρι*___ καὶ *ἥρεμ*___ οὐδέτερον γένος ἐστίν, ἀλλὰ πληθυντικὸς ἀριθμός.



Texto y actividades: Santi Carbonell
Dibujos: Sito Yelás

## Ἄσκησις Η

1. Ὁ Διόνυσος ________ ἐστιν.
2. Ὁ Ἀλέξανδρος ________ ἐστιν.
3. Ὁ Ἀλέξανδρος οὐ θεός, ἀλλ᾽ ________ ἐστιν.
4. Ὁ ἄνθρωπος οὐκ ἀθάνατος, ἀλλὰ ___________ ἐστίν.
5. Ὁ Ἀλέξανδρος οὐκ__________, ἀλλὰ θνητός ἐστιν.
6. Ὁ ἀνὴρ καὶ ἡ γυνὴ ______________ εἰσιν.
7. Ἡ Ἀφροδίτη ________ ἐστίν.
8. Ἡ Ἀφροδίτη καὶ ἡ Ἀθηνᾶ δύο ___________ εἰσίν.
9. Ἡ Ἀσπασία _____ θνητή _____.
10. __ Πήγασος ______ καὶ ______ ζῷόν ἐστιν.
11. __ ἄνθρωποι πολλοί εἰσιν.
12. __ Πηνελόπη οὐ στρατηγός ἐστιν.
13. ___ γυναῖκες οὐ στρατηγοί εἰσιν.
14. ___ θηρίον μεγάλον ἐστίν.
15. ___ θηρία μυθολογικὰ ______ ἐστιν.
16. ___ ζῷα οὐκ ______ , ἀλλὰ πολλά ἐστιν.
17. Ὁ ἄνθρωπος ______ ἐστιν. Οἱ δὲ θεοί ______ .
18. Ὁ Ὅμηρος οὐ ______, ἀλλ᾽ ἀνήρ ἐστιν. Ὁ Ὅμηρος ____ ὁ Ἀλέξανδρος δύο ___________ εἰσιν.
19. Ἡ Ἀσπασία οὐ ________, ἀλλὰ γυνή ἐστιν.
20. Οἱ ἄνδρες καὶ αἱ ___________ οὐκ ἀθάνατοί εἰσιν.
21. Τὰ ______ πολλά ἐστιν, τὰ ____ μεγάλα, τὰ ____ μικρά.
22. Καὶ τὰ ζῷα θνητά ______.
23. _____ ἐστιν ὁ Κρόνος;
24. ______ ὁ Ὅμηρος ἀθάνατος οὐκ ἔστιν; ______ οὐ θεός, ἀλλ᾽ ἄνθρωπός ______.

**Λέξεις**

ὁ ἡ τό / οἱ αἱ τά
ἄνθρωπος
θεός, θεά
γυνή / γυναῖκες
ἀνήρ / ἄνδρες
ζῷον / ζῷα

ὀλίγος, -η, -ον
ἤρεμος, -η, -ον
ἄγριος, -α, -ον
θνητός, -ή, -όν
καλός, -ή, -όν
κακός, -ή, -όν
ἀθάνατος, -ον

ἐστίν / εἰσίν

μέν ... δέ
ναί
οὖν
οὐ(κ) ... ἀλλά
οὔτε ... οὔτε
διότι
γάρ
ὥσπερ
Τίς;
Διὰ τί;
Ἆρα ;
καί
δύο
τρεῖς



creative commons BY NC SA

Texto y actividades: Santi Carbonell
Dibujos: Sito Yelás

25. Ὁ λύκος οὐκ ________ , ἀλλ᾽ ______ ζῷόν ἐστιν.
26. Τὰ ______ μυθολογικὰ ζῷά ἐστιν.
27. Ὁ Ὅμηρος, ὁ Ἀλέξανδρος καὶ ἡ Ἀσπασία ______ ἄνθρωποί εἰσιν.
28. Τὰ θηρία οὐκ __________, ἀλλὰ πολλά ἐστιν, τὰ μὲν θνητά, τὰ δὲ ἀθάνατα.
29. Ἡ Πηνελόπη καί ἡ Ἀσπασία ______ γυναῖκές εἰσιν.
30. Ὁ Μινώταυρος ______ θηρίον ἐστίν.
31. ______ καὶ ______ ἀριθμοί εἰσιν.
32. Ὁ Ὅμηρος _____ στρατηγός, ______ ῥαψῳδός ἐστιν.
33. Ὁ Διόνυσος ______ στρατηγός, _______ ῥαψῳδός ἐστιν. Θεός _____ ἐστιν.
34. ____ καὶ ὁ Μινώταυρος θηρίον ἐστίν;
35. _____, ὁ Μινώταυρος θηρίον ἐστίν.
36. Ἔστι οὖν καὶ ἡ Πηνελόπη στρατηγός; Οὐ γὰρ ______
37. Τὰ ζῷα πολλὰ ἐστιν, τὰ μὲν ἤρεμα, _________ ὄνος καὶ βοῦς, τὰ δὲ ἄγρια, ________ λέων καὶ λύκος.

### Ἄσκησις Θ

ὉΔιόνυσοςκαὶὁἭφαιστοςἑλληνικοὶθεοίεἰσινἩἈθηνᾶθεάἐστινΚαὶἡἭρακαὶἡἈφροδίτηθεαίεἰσινἩδὲΜελπομένημοῦσάἐστινΚαὶἡΚαλλιόπηἡΟὐρανίακαὶἡΕὐτέρπηἑλληνικαὶμοῦσαιεἰσινὉΠυθαγόραςοὐθεόςἐστινΘνητόςμὲνἄνθρωπόςἐστινκαλὸςδὲφιλόσοφοςκαὶμαθηματικόςΤὰζῷαπολλάἐστιντὰμενμικράὥσπερμυῖακαὶκαρκίνοσταδὲμεγάλαὥπερκαρχαρίαςκαὶἐλεφαςκαὶτὰμενθαλάσσιαὥσπερκαρχαρίαςκαὶδελφίςκαὶταδὲπεζάὥσπερκροκοδειλοςκαὶτίγριςκαὶταμὲνἤρεμαὥσπερβοῦςκαὶὄνοςκαὶτὰδὲἄγριαὥσπερλέωνκαὶὕαιναὉΜινώταυροςθηρίονἐστίντὸμὲνἥμισυἄνθρωποςτὸδ᾽ἥμισυταῦρος


creative commons BY NC SA
Texto y actividades: Santi Carbonell
Dibujos: Sito Yelás

Ὁ Διόνυσος ________________________________________________

________________________________________________

________________________________________________

________________________________________________

________________________________________________

________________________________________________

________________________________________________

________________________________________________

**Ἄσκησις I**

1. Τίς ἐστιν ὁ Ὅμηρος;

________________________________________________

2. Ἆρα ἡ Ἀσπασία ἀνήρ ἐστιν;

________________________________________________

3. Τίς ἐστιν ὁ Διόνυσος;

________________________________________________

4. Διὰ τί ὁ Κρόνος ἀθάνατός ἐστιν;

________________________________________________

5. Ἡ Ἀφροδίτη ἀθάνατος ἢ θνητή ἐστιν ;

________________________________________________



creative commons BY NC SA

Texto y actividades: Santi Carbonell
Dibujos: Sito Yelás

6. Ὁ καρκίνος μικρὸν ζῷόν ἐστιν;

___

7. Ἆρα ὁ λύκος ἤρεμον ζῷόν ἐστιν ;

___

8. Τί ἐστιν ὁ Μινώταυρος;

___

9. Οἱ ἄνθρωποι ἤρεμοι ἢ ἄγριοι εἰσίν;

___

10. Τί λέγει ὁ Ἀριστοτέλης;

___

11. Τί ἐστιν ὁ Πήγασος;

___



creative commons BY NC SA

Texto y actividades: Santi Carbonell
Dibujos: Sito Yelás